# 1. Chronika 1

Septuaginta (LXX)

**1** αδαμ σηθ ενως

**2** καιναν μαλελεηλ ιαρεδ

**3** ενωχ μαθουσαλα λαμεχ

**4** νωε υἱοὶ νωε σημ χαμ ιαφεθ

**5** υἱοὶ ιαφεθ γαμερ μαγωγ μαδαι ιωυαν ελισα θοβελ μοσοχ καὶ θιρας

**6** καὶ υἱοὶ γαμερ ασχαναζ καὶ ριφαθ καὶ θοργαμα

**7** καὶ υἱοὶ ιωυαν ελισα καὶ θαρσις κίτιοι καὶ ῥόδιοι

**8** καὶ υἱοὶ χαμ χους καὶ μεστραιμ φουδ καὶ χανααν

**9** καὶ υἱοὶ χους σαβα καὶ ευιλατ καὶ σαβαθα καὶ ρεγμα καὶ σεβεκαθα καὶ υἱοὶ ρεγμα σαβα καὶ ουδαδαν

**10** καὶ χους ἐγέννησεν τὸν νεβρωδ οὗτος ἤρξατο τοῦ εἶναι γίγας κυνηγὸς ἐπὶ τῆς γῆς

**17** υἱοὶ σημ αιλαμ καὶ ασσουρ καὶ αρφαξαδ

**24** σαλα

**25** εβερ φαλεκ ραγαυ

**26** σερουχ ναχωρ θαρα

**27** αβρααμ

**28** υἱοὶ δὲ αβρααμ ισαακ καὶ ισμαηλ

**29** αὗται δὲ αἱ γενέσεις πρωτοτόκου ισμαηλ ναβαιωθ καὶ κηδαρ ναβδεηλ μαβσαν

**30** μασμα ιδουμα μασση χοδδαδ θαιμαν

**31** ιεττουρ ναφες καὶ κεδμα οὗτοί εἰσιν υἱοὶ ισμαηλ

**32** καὶ υἱοὶ χεττουρας παλλακῆς αβρααμ καὶ ἔτεκεν αὐτῷ τὸν ζεμβραν ιεξαν μαδαν μαδιαμ σοβακ σωε καὶ υἱοὶ ιεξαν σαβα καὶ δαιδαν

**33** καὶ υἱοὶ μαδιαμ γαιφα καὶ οφερ καὶ ενωχ καὶ αβιδα καὶ ελδαα πάντες οὗτοι υἱοὶ χεττουρας


Druckausgabe erzeugt am 05.08.2025 auf bibelkommentare.de

**34** καὶ ἐγέννησεν αβρααμ τὸν ισαακ καὶ υἱοὶ ισαακ ησαυ καὶ ιακωβ

**35** υἱοὶ ησαυ ελιφας καὶ ραγουηλ καὶ ιεουλ καὶ ιεγλομ καὶ κορε

**36** υἱοὶ ελιφας θαιμαν καὶ ωμαρ σωφαρ καὶ γοωθαμ καὶ κενεζ καὶ τῆς θαμνα αμαληκ

**37** καὶ υἱοὶ ραγουηλ ναχεθ ζαρε σομε καὶ μοζε

**38** υἱοὶ σηιρ λωταν σωβαλ σεβεγων ανα δησων ωσαρ δαισων

**39** καὶ υἱοὶ λωταν χορρι καὶ αιμαν καὶ αιλαθ καὶ ναμνα

**40** υἱοὶ σωβαλ γωλαμ μαναχαθ γαιβηλ σωβ καὶ ωναμ υἱοὶ δὲ σεβεγων αια καὶ ανα

**41** υἱοὶ ανα δαισων υἱοὶ δὲ δησων εμερων καὶ εσεβαν καὶ ιεθραν καὶ χαρραν

**42** καὶ υἱοὶ ωσαρ βαλααν καὶ ζουκαν καὶ ιωκαν υἱοὶ δαισων ως καὶ αρραν

**43** καὶ οὗτοι οἱ βασιλεῖς αὐτῶν βαλακ υἱὸς βεωρ καὶ ὄνομα τῇ πόλει αὐτοῦ δενναβα

**44** καὶ ἀπέθανεν βαλακ καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ιωβαβ υἱὸς ζαρα ἐκ βοσορρας

**45** καὶ ἀπέθανεν ιωβαβ καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ασομ ἐκ τῆς γῆς θαιμανων

**46** καὶ ἀπέθανεν ασομ καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ αδαδ υἱὸς βαραδ ὁ πατάξας μαδιαμ ἐν τῷ πεδίῳ μωαβ καὶ ὄνομα τῇ πόλει αὐτοῦ γεθθαιμ

**47** καὶ ἀπέθανεν αδαδ καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ σαμαα ἐκ μασεκκας

**48** καὶ ἀπέθανεν σαμαα καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ σαουλ ἐκ ροωβωθ τῆς παρὰ ποταμόν

**49** καὶ ἀπέθανεν σαουλ καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ βαλαεννων υἱὸς αχοβωρ

**50** καὶ ἀπέθανεν βαλαεννων υἱὸς αχοβωρ καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ αδαδ υἱὸς βαραδ καὶ ὄνομα τῇ πόλει αὐτοῦ φογωρ

**51** καὶ ἀπέθανεν αδαδ καὶ ἦσαν ἡγεμόνες εδωμ ἡγεμὼν θαμανα ἡγεμὼν γωλα ἡγεμὼν ιεθετ

**52** ἡγεμὼν ελιβαμας ἡγεμὼν ηλας ἡγεμὼν φινων

**53** ἡγεμὼν κενεζ ἡγεμὼν θαιμαν ἡγεμὼν μαβσαρ

**54** ἡγεμὼν μεγεδιηλ ἡγεμὼν ηραμ οὗτοι ἡγεμόνες εδωμ


Druckausgabe erzeugt am 05.08.2025 auf bibelkommentare.de